καὶ προσεκύνησεν αὐτῷ καὶ ἐφίλησεν αὐτόν, καὶ ἠσπάσαντο
ἀλλήλους· καὶ εἰσήγαγεν αὐτὸν εἰς τὴν σκηνήν. [8]καὶ διηγήσατο 8
Μωυσῆς τῷ γαμβρῷ πάντα, ὅσα ἐποίησεν κύριος τῷ Φαραω καὶ
τοῖς Αἰγυπτίοις ἕνεκεν τοῦ Ισραηλ, καὶ πάντα τὸν μόχθον τὸν γενό-
μενον αὐτοῖς ἐν τῇ ὁδῷ καὶ ὅτι ἐξείλατο αὐτοὺς κύριος ἐκ χειρὸς
Φαραω καὶ ἐκ χειρὸς τῶν Αἰγυπτίων. [9]ἐξέστη δὲ Ιοθορ ἐπὶ πᾶσι 9
τοῖς ἀγαθοῖς, οἷς ἐποίησεν αὐτοῖς κύριος, ὅτι ἐξείλατο αὐτοὺς ἐκ
χειρὸς Αἰγυπτίων καὶ ἐκ χειρὸς Φαραω. [10]καὶ εἶπεν Ιοθορ Εὐλο- 10
γητὸς κύριος, ὅτι ἐξείλατο τὸν λαὸν αὐτοῦ ἐκ χειρὸς Αἰγυπτίων
καὶ ἐκ χειρὸς Φαραω· [11]νῦν ἔγνων ὅτι μέγας κύριος παρὰ πάντας 11
τοὺς θεούς, ἕνεκεν τούτου ὅτι ἐπέθεντο αὐτοῖς. [12]καὶ ἔλαβεν Ιοθορ 12
ὁ γαμβρὸς Μωυσῆ ὁλοκαυτώματα καὶ θυσίας τῷ θεῷ· παρεγένετο
δὲ Ααρων καὶ πάντες οἱ πρεσβύτεροι Ισραηλ συμφαγεῖν ἄρτον μετὰ
τοῦ γαμβροῦ Μωυσῆ ἐναντίον τοῦ θεοῦ.
[13]Καὶ ἐγένετο μετὰ τὴν ἐπαύριον συνεκάθισεν Μωυσῆς κρίνειν 13
τὸν λαόν· παρειστήκει δὲ πᾶς ὁ λαὸς Μωυσεῖ ἀπὸ πρωίθεν ἕως
ἑσπέρας. [14]καὶ ἰδὼν Ιοθορ πάντα, ὅσα ἐποίει τῷ λαῷ, λέγει Τί 14
τοῦτο, ὃ σὺ ποιεῖς τῷ λαῷ; διὰ τί σὺ κάθησαι μόνος, πᾶς δὲ ὁ
λαὸς παρέστηκέν σοι ἀπὸ πρωίθεν ἕως δείλης; [15]καὶ λέγει Μωυ- 15
σῆς τῷ γαμβρῷ ὅτι Παραγίνεται πρός με ὁ λαὸς ἐκζητῆσαι κρίσιν
παρὰ τοῦ θεοῦ· [16]ὅταν γὰρ γένηται αὐτοῖς ἀντιλογία καὶ ἔλθωσι 16
πρός με, διακρίνω ἕκαστον καὶ συμβιβάζω αὐτοὺς τὰ προστάγματα
τοῦ θεοῦ καὶ τὸν νόμον αὐτοῦ. [17]εἶπεν δὲ ὁ γαμβρὸς Μωυσῆ πρὸς 17
αὐτόν Οὐκ ὀρθῶς σὺ ποιεῖς τὸ ῥῆμα τοῦτο· [18]φθορᾷ καταφθαρήσῃ 18
ἀνυπομονήτῳ καὶ σὺ καὶ πᾶς ὁ λαὸς οὗτος, ὅς ἐστιν μετὰ σοῦ·
βαρύ σοι τὸ ῥῆμα τοῦτο, οὐ δυνήσῃ ποιεῖν μόνος. [19]νῦν οὖν 19
ἄκουσόν μου, καὶ συμβουλεύσω σοι, καὶ ἔσται ὁ θεὸς μετὰ σοῦ.
γίνου σὺ τῷ λαῷ τὰ πρὸς τὸν θεὸν καὶ ἀνοίσεις τοὺς λόγους αὐ-
τῶν πρὸς τὸν θεὸν [20]καὶ διαμαρτυρῇ αὐτοῖς τὰ προστάγματα τοῦ 20
θεοῦ καὶ τὸν νόμον αὐτοῦ καὶ σημανεῖς αὐτοῖς τὰς ὁδούς, ἐν αἷς
πορεύσονται ἐν αὐταῖς, καὶ τὰ ἔργα, ἃ ποιήσουσιν. [21]καὶ σὺ σε- 21
αυτῷ σκέψαι ἀπὸ παντὸς τοῦ λαοῦ ἄνδρας δυνατοὺς θεοσεβεῖς,
ἄνδρας δικαίους μισοῦντας ὑπερηφανίαν, καὶ καταστήσεις αὐτοὺς
ἐπ' αὐτῶν χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ
δεκαδάρχους, [22]καὶ κρινοῦσιν τὸν λαὸν πᾶσαν ὥραν· τὸ δὲ ῥῆμα 22
τὸ ὑπέρογκον ἀνοίσουσιν ἐπὶ σέ, τὰ δὲ βραχέα τῶν κριμάτων

7 αυτον ult.] -τους A || 8 τοις] pr. πασι B† || 9 αυτοις κυρ.] tr. A | εξειλ.] + κυριος A† | αιγυπτ.] pr. των A || 10 τον λαον αυτου] αυτους B†: ex 9 || 11 οτι ult. > A† || 12 δε] + και A | συμφαγειν] συμ > A || 13 εσπερας] δειλης B†: ex 14 || 14 εποιει] ποιει B | πρωιθεν] πρωι A || 18 ανυπομ.] > A*, in *O* sub ÷ | ουτος] > B*, pr. σου A | ποιειν B*†] pr. συ B$^c$, + συ pl. (A deest) || 21 αυτους > B† | fin.] + και γραμματοεισαγωγεις A: item in 25 fin.